## CCXXI

# ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΒΕΡΟΙᾼ

Ἔγνωμεν ὑμᾶς προλαβόντες, ποθεινότατοι, ἐκ τῆς ἐκβεβοημένης ὑμῶν εὐλαβείας καὶ τοῦ στεφάνου τῆς κατὰ Χριστὸν ὁμολογίας. Καὶ ἴσως ἄν τις ὑμῶν φαίη· «καὶ τίς ὁ εἰς τὴν μακρὰν ταύτην διαπορθμεύσας;» Κύριος αὐτός, ὃς τοὺς εὐσεβοῦντας εἰς αὐτὸν τρόπῳ λύχνου τιθεὶς ἐπὶ τὴν λυχνίαν φαίνειν ποιεῖ καθ' ὅλης τῆς οἰκουμένης. Ἦ οὐχὶ τοὺς ἀριστέας τῶν ἀγωνιστῶν ἀνακηρύττειν εἴωθε τὸ τῆς νίκης βραβεῖον, καὶ τοὺς μηχανικοὺς ἡ τοῦ ἔργου ἐπίνοια; Εἰ δὲ ἐπὶ τούτοις καὶ τοῖς τοιούτοις ἄληστος ἡ μνήμη διαμένει, τοὺς κατὰ Χριστὸν εὐσεβοῦντας περὶ ὧν αὐτός φησιν ὁ Κύριος· «Τοὺς δοξάζοντάς με δοξάσω», πῶς οὐχὶ γνωρίμους καὶ διαφανεῖς τοῖς πᾶσι καταστήσει, ταῖς ἀκτῖσι τοῦ ἡλίου συνεφαπλῶν τῆς ἐξαστραπτούσης αὐτῶν λαμπηδόνος τὸ φαιδρόν; Μείζονα δὲ αὖθις ἡμῖν τὸν περὶ ὑμᾶς πόθον ἐνεθήκατε γραμμάτων ἡμᾶς ἀξιώσαντες, καὶ γραμμάτων τοιούτων, ἐν οἷς πρὸς τοῖς προλαβοῦσιν ὑπὲρ τῆς εὐσεβείας παλαίσμασι πλουσίαν καὶ ἀκμαιοτέραν τὴν ὑπὲρ τῆς ἀληθοῦς πίστεως καρτεροψυχίαν ἐπεδαψιλεύεσθε. Ἐφ' οἷς συνηδόμεθα ὑμῖν καὶ συνευχόμεθα ὅπως ὁ τῶν ὅλων Θεός, οὗ ὁ ἀγὼν καὶ οὗ τὸ σκάμμα καὶ δι' οὗ οἱ στέφανοι, προθυμίαν ἐμποιήσῃ, ῥῶσιν ψυχῆς παράσχῃ, καὶ εἰς τελείαν διευδοκίμησιν τὴν παρ' αὐτῷ τὸ ἔργον ὑμῶν ἀγάγῃ.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415883636/13 UNIVERSITÄT LEIPZIG